*γάλην ἔχει βοήθειαν, ὅταν εὐπορῇ τις καὶ ὅτι οὕτως καὶ ὅτι οὐχ οὕτως· πρὸς τὰ ἐναντία γὰρ συμβαίνει ποιεῖσθαι τὴν φυλακήν. πρός τε γνῶσιν καὶ τὴν κατὰ φιλοσοφίαν φρόνησιν τὸ δύνασθαι συνορᾶν καὶ συνεωρακέναι τὰ ἀφ᾽ ἑκατέρας συμβαίνοντα τῆς ὑποθέσεως οὐ μικρὸν ὄργανον· λοιπὸν γὰρ τούτων ὀρθῶς ἑλέσθαι θάτερον. δεῖ δὲ πρὸς τὸ τοιοῦτον ὑπάρχειν εὐφυᾶ, καὶ τοῦτ᾽ ἔστιν ἡ κατ᾽ ἀλήθειαν εὐφυΐα, τὸ δύνασθαι καλῶς ἑλέσθαι τἀληθὲς καὶ φυγεῖν τὸ ψεῦδος· ὅπερ οἱ πεφυκότες εὖ δύνανται ποιεῖν· εὖ γὰρ φιλοῦντες καὶ μισοῦντες τὸ προσφερόμενον εὖ κρίνουσι τὸ βέλτιστον.*

*Πρός τε τὰ πλειστάκις ἐμπίπτοντα τῶν προβλημάτων ἐξεπίστασθαι δεῖ λόγους, καὶ μάλιστα περὶ τῶν πρώτων θέσεων· ἐν τούτοις γὰρ ἀποδυσπετοῦσιν οἱ ἀποκρινόμενοι πολλάκις. ἔτι τε ὅρων εὐπορεῖν δεῖ καὶ τῶν ἐνδόξων τε καὶ τῶν πρώτων ἔχειν προχείρους· διὰ γὰρ τούτων οἱ συλλογισμοὶ γίνονται. πειρατέον δὲ καὶ εἰς ἃ πλειστάκις ἐμπίπτουσιν οἱ λόγοι κατέχειν. ὥσπερ γὰρ ἐν γεωμετρίᾳ πρὸ ἔργου τὸ περὶ τὰ στοιχεῖα γεγυμνάσθαι καὶ ἐν ἀριθμοῖς τὸ περὶ τοὺς κεφαλισμοὺς προχείρως ἔχειν καὶ μέγα διαφέρει πρὸς τὸ καὶ τὸν ἄλλον ἀριθμὸν γινώσκειν πολλαπλασιούμενον, ὁμοίως καὶ ἐν τοῖς λόγοις τὸ πρόχειρον εἶναι περὶ τὰς ἀρχὰς καὶ τὰς προτάσεις ἀπὸ στόματος ἐξεπίστασθαι. καθάπερ γὰρ ἐν τῷ μνημονικῷ μόνον οἱ τόποι τεθέντες εὐθὺς ποιοῦσιν αὐτὰ μνημονεύειν, καὶ ταῦτα ποιήσει συλλογιστικώτερον διὰ τὸ πρὸς ὡρισμένας αὐτὰς βλέπειν κατ᾽ ἀριθ-*

**7** *ἔχειν* B ‖ post *β.* add. *πάλιν τοῖς ἀποκρινομένοις πρὸς τὸ μὴ ἐλέγχεσθαι* Al$^{p}$ ‖ post *τις* add. *argumentari* Bo ‖ $^{1}$*ὅτι*] *τὸ* A **8** *συμβαίνοι* u *ἂν συμβαίνοι* C **9** post *τε* add. *τὴν* u **10** post *καὶ* add. *τὸ* C ‖ *ἐφ᾽ ἑκάτερα* C Leo$^{c}$ **12** immo *δὲ* Wl. ‖ *τοιοῦτο* AB **13** *εὐφυῆ* C ‖ *ἡ* om. u **14** *τἀληθὲς* mg. C$^{2}$ **15** *ποιεῖν*] *probe facere* Bo ‖ *δύναιντ᾽ ἄν* u ‖ *οἱ γὰρ* C Leo$^{p}$ **20** $^{1}$*τε* Bu Al$^{1}$ corr. C, om. A Bo ‖ $^{2}$*τε* om. Al$^{c}$ **22** *γίνονται* om. C ‖ *τε* C **23** *λόγοι* Al$^{c}$ *ἄλλοι λόγοι* AB Al$^{1}$ Str. *διάλογοι* Cu Bo **24** *ἔργου τὰ* corr. A (contra Al$^{c}$) **25** *καὶ* om. Cu **27** post *ὁμοίως* add. *δὲ* ACu ‖ *καὶ*] *quoque et* Bo **27. 28** *καὶ τοὺς λόγους καὶ τὰς* Cu (sim. Leo$^{p}$) **28** post *ἐ.* add. *oportet* Bo (post **27** *ὁ.* add. *δεῖ* Leo$^{p}$) **30** *ποιήσει*] *faciunt* Bo **31** *ὡρισμένα αὐτὰ* C ‖ *καὶ* pr. C

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408701080/210 UNIVERSITÄT LEIPZIG